μὴ ἔστωσαν δὴ αἱ ἐφεστηκυῖαι αἱ ΑΗ ΘΚ ΒΕ ΛΜ ΓΝ ΟΠ
ΔΞ ΡΣ πρὸς ὀρθὰς ταῖς ΑΒ ΓΔ βάσεσιν. λέγω πάλιν
ὅτι ἴσον ἐστὶ τὸ ΑΕ στερεὸν τῷ ΓΞ στερεῷ. ἤχθω-
σαν γὰρ ἀπὸ τῶν ΚΕ ΗΜ ΠΞ ΝΣ σημείων ἐπὶ τὸ ὑ-
ποκείμενον ἐπίπεδον κάθετοι αἱ ΚΞ ΕΤ ΗΥ ΜΦ
ΠΧ ΞΨ ΝΩ ΣΙ. καὶ συμβαλλέτωσαν τῷ ἐπιπέδῳ
κατὰ τὰ Ξ Τ Υ Φ Χ Ψ Ω Ι σημεῖα. καὶ ἐπεζεύχθωσαν
αἱ ΞΤ ΞΥ ΥΦ ΤΦ ΧΨ ΧΩ ΩΙ ΙΨ. ἴσον δή ἐστι τὸ
ΚΦ στερεὸν τῷ ΠΙ στερεῷ. ἐπί τε γὰρ ἴσων βά- (ἐκ τοῦ λ' τοῦ ια')
σεών ἐστι τῶν ΚΜ ΠΣ καὶ ὑπὸ τὸ αὐτὸ ὕψος. ὧν αἱ
ἐφεστῶσαι πρὸς ὀρθάς εἰσι ταῖς βάσεσιν. ἀλλὰ
τὸ μὲν ΚΦ στερεὸν τῷ ΑΕ στερεῷ ἐστιν ἴσον. τὸ
δὲ ΠΙ τῷ ΓΞ. ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς εἰσι
καὶ ὑπὸ τὸ αὐτὸ ὕψος. ὧν αἱ ἐφεστῶσαι οὐκ εἰσὶν (ἐκ τοῦ λ' τοῦ ια')
ἐπὶ τῶν αὐτῶν εὐθειῶν. καὶ τὸ ΑΕ ἄρα στερεὸν τῷ
ΓΞ στερεῷ ἐστιν ἴσον. τὰ ἄρα ἐπὶ ἴσων βάσεων
ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ
ὕψος ἴσα ἀλλήλοις ἐστίν. ὅπερ ἔδει δεῖξαι:~





λβ' Τὰ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα στερεὰ παραλληλεπίπεδα πρὸς ἀλ-
λήλά ἐστιν ὡς αἱ βάσεις. ἔστω ὑπὸ τὸ αὐτὸ ὕψος στερεὰ
παραλληλεπίπεδα τὰ ΑΒ ΓΔ. λέγω ὅτι τὰ ΑΒ ΓΔ στε-
ρεὰ παραλληλεπίπεδα πρὸς ἄλληλά ἐστιν ὡς αἱ βά-
σεις. τουτέστιν ὅτι ἐστὶν ὡς ἡ ΑΕ βάσις πρὸς τὴν ΓΖ
βάσιν. οὕτως τὸ ΑΒ στερεὸν πρὸς τὸ ΓΔ στερεόν. πα-
ραβεβλήσθω γὰρ παρὰ τὴν ΖΗ τῇ ΑΕ ἴσον τὸ ΖΘ.
καὶ ἀπὸ βάσεως μὲν τῆς ΖΘ. ὕψους δὲ τοῦ αὐτοῦ τῷ
ΓΔ. στερεὸν παραλληλεπίπεδον συμπεπληρώσθω
τὸ ΗΚ. ἴσον δή ἐστι τὸ ΑΒ στερεὸν τῷ ΗΚ στερεῷ. ἐπί
τε γὰρ ἴσων βάσεών ἐστι τῶν ΑΕ ΖΘ καὶ ὑπὸ τὸ αὐτὸ ὕ- (ἐκ τοῦ λα' τοῦ ια')
ψος. καὶ ἐπεὶ στερεὸν παραλληλεπίπεδον τὸ ΓΚ ἐπιπέ-
δῳ τῷ ΔΗ τέμνεται παραλλήλῳ ὄντι τοῖς ἀπεναν- (ἐκ τοῦ κε' τοῦ ια')
τίον ἐπιπέδοις. ἔστιν ἄρα ὡς ἡ ΘΖ βάσις πρὸς τὴν
ΓΖ βάσιν. οὕτως τὸ ΘΔ στερεὸν πρὸς τὸ ΔΓ στερεόν. ἴ-
ση δὲ ἡ μὲν ΖΘ βάσις τῇ ΑΕ βάσει. τὸ δὲ ΗΚ στε-
ρεὸν τῷ ΑΒ στερεῷ. ἔστιν ἄρα καὶ ὡς ἡ ΑΕ βάσις
πρὸς τὴν ΓΖ βάσιν. οὕτως τὸ ΑΒ στερεὸν πρὸς τὸ ΓΔ
στερεόν. τὰ ἄρα ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα στερεὰ πα-
ραλληλεπίπεδα πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις. ὅ-
περ ἔδει δεῖξαι:~